www.tezaurliturgic.ro

# 20 OCTOMBRIE

# PARACLISUL SF.MARE MUCENIC ARTEMIE DE LA ALEXANDRIA

SF.ANA-ATHOS,2005

www.tezaurliturgic.ro



# Παράκλησις Μεγαλομάρτυρος ΑΡΤΕΜΙΟΥ

Ἐκ τῆς ἐκδόσεως τοῦ Ἱεροῦ Κελλίου ἁγ. Ἀρτεμίου, Σκήτεως Ἁγίας Ἄννης, Ἁγίου Ὄρους (2005)

*Ὁ Ἱερεύς ἄρχεται τῆς Παρακλήσεως μέ τήν δοξολογικήν ἐκφώνησιν:*

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

*Ὁ χορός:* Ἀμήν.

*Ἤ μή ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:*

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

*Ψαλμός ρμβ᾽ (142).*

*Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:*

Θεός Κύριος καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Στίχ. α᾽. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καί ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.*

Θεός Κύριος καί ἐπέφανεν ἡμῖν...

*Στίχ. β᾽. Πάντα τά ἔθνη ἐκύκλωσάν με καί τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Θεός Κύριος καί ἐπέφανεν ἡμῖν...

*Στίχ. γ’. Παρά Κυρίου έγένετο αὕτη καί ἔστι θαυμαστή έν όφθαλμοῖς ἡμῶν.*

Θεός Κύριος καί έπέφανεν ἡμῖν...

*Τὰ παρόντα τροπάρια. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.*

Ποικίλαις βασάνοις έναθλήσας μακάριε, ὼς στεῤῥῶς άδάμας τὸν Παραβάτην κατήσχυνας, καὶ γὰρ έν πέτρᾳ μεγίστῃ πιεσθείς, διὰ τὴν πέτραν Χριστὸν καὶ αίκισθείς, στέφος έδέξω τοῦ μαρτυρίου, Μεγαλομάρτυς Άρτέμιε· δόξα τῷ ένισχύσαντι Χριστῷ, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ένεργοῦντι διὰ σοῦ πᾶσιν ίάματα.

*Δόξα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τῶν αἱμάτων τῷ λύθρῳ έπισταζόμενος, τῷ Κυρίῳ παρέστης Μάρτυς Άρτέμιε, Ὃν ἱκέτευε άεὶ κατοικτειρῆσαί με, τὸν άτόποις λογισμοῖς, καὶ έργασίαις πονηραῖς, άφρόνως κατεγνωσμένον, ἵνα πιστῶς εύφημῶ σε, τῇ προστασίᾳ σου φρουρούμενος.

Καὶ νῦν. Θεοτοκίον.

Ού σιωπήσομέν ποτε Θεοτόκε,...

*Ψαλμός ν’ (50).*

*Εἶτα, ὁ Κανὼν τοῦ Άγίου.*

*Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.*

Πολλοῖς συνεχόμενοις πειρασμοῖς, καὶ σοὶ προσιόντα έλευθέρωσον άθλητά, έμὲ τὸν ἱκέτην σου τῆς τούτων, έκδυσωπῶ τυραννίδος Άρτέμιε.

Παθῶν με ἐκύκλωσαν προσβολαί, Ἀρτέμιε μάκαρ, καὶ κινδύνων ἐπαγωγαί, λύτρωσαί με τούτων τάχος κράζω, σαῖς πρὸς Θεὸν εὐπροσδέκτοις δεήσεσι.

Νοσοῦντα με πάθεσι χαλεποῖς, τὸν ἄθλιον μάκαρ τῷ φαρμάκῳ τῶν πρεσβειῶν, ἴασαι Ἀρτέμιε νοσοῦντων, ὁ ἰατρὸς δυσωπῶ ὁ ὀξύτατος.

*Θεοτοκίον.*

Σωτῆρα τεκοῦσά σε καὶ Θεόν δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγω ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Προστασίαις σου θείαις, τῶν ἀλγεινῶν ῥῦσαί με, τῶν ἐν παιδογόνοις μορίοις, Μάρτυς Ἀρτέμιε, καὶ γὰρ σὲ κέκτημαι, μετὰ Θεὸν σωτηρίαν, ὁ θερμῶς τῇ σκέπῃ σου, προσφεύγων πάντοτε.

Ἱκετεύω σε πόθῳ, τὴν ψυχικὴν κάκωσιν, καὶ τὰς τῆς σαρκὸς ἀσθενείας μου ἐξιάσασθαι· σὺ γὰρ ἐκήρυξας, τόν ἀσθενείας τοῦ κόσμου, εὐσπλαγχίᾳ ἄραντα, Χριστὸν Ἀρτέμιε.

Χαλεπαῖς ἀῤῥωστίαις καὶ λυπηροῖς πάθεσι, ὅλον με κακῶς Ἀθλοφόρε, κατατρυχόμενον, ταῖς πρὸς τὸν Κύριον, σαῖς ἀκοιμήτοις πρεσβείαις, ἴασαι Ἀρτέμιε, ὅπως γεραίρω σε.

*Θεοτοκίον.*

Εὐεργέτην τεκοῦσα τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον, πάντα γὰρ

δύνασαι, ὡς δυνατὸν ἐν ἰσχΰϊ, τόν Χριστὸν κυήσασα, Θεομακάριστε.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς πιστει σοὶ προσιόντας, ὅτι πάντες ἱκετικῶς πρὸς σὲ καταφεύγομεν, Ἀρτέμιε ὡς πρὸς Θεὸν ἡμῶν πρέσβυν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Πρεσβείαν τὴν σὴν ὡς ὅπλον ἀπροσμάχητον, πλουτοῦμεν ἀεὶ οἱ πίστει σοὶ προσφεύγοντες, ἐκτενῶς βοῶντές σοι Ἀθλοφόρε Ἀρτέμιε, πρόφθασον καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ταῖς θείαις πρεσβείαις σου πρὸς Κύριον.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Τῶν παθῶν μου τὸν βόρβορον, καὶ κηλῖδας πάσας σὺ ἀπομάκρυνον, θεραπεύσας ταῖς πρὸς Κύριον, εὐπροσδέκτοις Μάρτυς ἱκεσίαις σου.

Ἀπολαύοντες πάντοτε, τῶν θαυμάτων Μάρτυς τῶν τῆς εἰκόνος σου, προϊόντων τὸν χαρίσμασιν, ἀθανάτοις στέψαντα μεγαλύναντα.

Ἐπὶ κλίνης με κείμενον, συμφορῶν παντοίων Μάκαρ ἀνάστησον, ταῖς πρὸς Κύριον πρεσβείαις σου, τόν τεταρταῖον Λάζαρον ἐγείραντα.

*Θεοτοκίον.*

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς Σῆς παράσχου μοι, ἡ τὸν Εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων Σε.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἔμπλησον ἡμῶν, τὰς καρδίας θείας χάριτος, ταῖς πρὸς τὸν Κτίστην ἱκεσίαις σου, τῶν προσιόντων τῷ ναῷ σου Ἀξιάγαστε.

Λύτρωσαι ἡμᾶς, ἱκεσίαις σου Ἀρτέμιε, λοιμοῦ λιμοῦ παντοίας θλίψεως, καὶ ἀῤῥωστίας, ὅπως εὐφημοῦμέν σε.

Ἴασαι ψυχῶν, καὶ σωμάτων πάθη πάμπολλα, ἀξιοθαύμαστε Ἀρτέμιε, τῶν νῦν προσκυνοῦντων τῷ σεπτῷ ναῷ σου μετὰ πίστεως.

*Θεοτοκίον.*

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς Σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Θανάτου, καὶ συμφορῶν ἀπάλλαξον, κοσμικῶν καὶ ἀλγηδόνας παντοίων, τοὺς τῷ ναῷ τῷ πανσέπτῳ σου Μάρτυς, ἐν κατανύξει ψυχῆς προσιοῦσι νῦν, πάσης νόσου χαλεπῆς, καὶ δεινῶν συνεχῶν περιστάσεων.

Ὡς ὅπλον νῦν, ἐν κινδύνοις πάντοτε, τὴν πρεσβείαν σου πλουτοῦντες Παμμάκαρ, τῶν λυπηρῶν ἐκλυτρούμεθα τάχος, καὶ σὲ σωτῆρα καὶ ῥύστην

Ἀρτέμιε, κηρύττομεν μετὰ Θεόν, ἐκ ψυχῆς ὀνομάζοντες μέγιστον.

Ἐν κλίνῃ, τῶν νοσημάτων πάντοτε, κατακείμενος Ἀρτέμιε Μάρτυς, παρακαλῶ ἀπ' ἐμοῦ τὴν σεπτήν σου, μὴ ἀντανέλῃς ἀντίληψιν Ἔνδοξε, ἀλλ' ἐπίβλεψόν με συμπαθῶς, καὶ λοιμώδους νοσήματος λύτρωσαι.

*Θεοτοκίον.*

Προστάτιν σε, τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν, διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διὰ παντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς πίστει σοὶ προσιόντας, ὅτι πάντες ἱκετικῶς πρὸς σὲ καταφεύγομεν, Ἀρτέμιε ὡς πρὸς Θεὸν ἡμῶν πρέσβυν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ὡς Μαρτύρων τὸ ὑπέρκαλλες ἐγκαλλώπισμα, ὁ Χριστὸς ἀκηράτοις στεφάνοις, σέ ἔστεψε, ὡς νοσούντων δέ ἀκέστορα ἀνέδειξε, θεραπεύων τά πάθοι τοῦ σώματος· διὸ καὶ ἡμῶν τοῖς σοὶ προστρέχουσι, κούφισον τὰς ὀδυνάς, ἰώμενος πάντα πόνον, καὶ τάς δεινάς ἐπιφοράς, θαυματόβρυτε Ἀρτέμιε.

*Προκείμενον:* *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

*Στ.:* *Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

*Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην:* Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους…

*Δόξα:* Ταῖς τοῦ Ἀθλοφόρου…

*Καὶ νῦν:* Ταῖς τῆς Θεοτόκου…

*Προσόμοιον. Ἦχος πλ. β΄. Οὐδεὶς προστρέχων. Στ.:* *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…*

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, Ἀρτέμιε Μεγαλομάρτυς, ἀλλ’ αἰτεῖται τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, παρὰ Θεοῦ ταῖς ἱκεσίαις σου.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Θελητὴν τοῦ ἐλέους, ἐν σταδίῳ τυράννων ἐκήρυξας Ἅγιε, Χριστὸν τὸν Ζωοδότην, ᾧ πάντων ὑπερεύχου, τῶν ἐν πίστει βοώντων σοί· ἐξ ἀναγκῶν χαλεπῶν, Ἀθλητὰ ἡμᾶς ῥῦσαι.

Σωμάτων ἰατῆρα καὶ ψυχῶν πρεσβευτήν σε, πάντες κεκτήμεθα, Ἀρτέμιε τρισμάκαρ, διάσωσον οὖν πάντας, τοὺς Θεῷ ἀνακράζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θησαυρόν σε πλουτοῦμεν, ἰαμάτων ὡς ἔχεις πηγὴν Ἀρτέμιε, καὶ πύργον ἀσφαλείας, ψυχῶν τε σωτηρίαν,

οἱ ἐν πίστει κραυγάζοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Θησαυρὸν σωτηρίας καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα τῶν Οὐρανῶν.*

Τοὺς προσφοιτῶντας, τῷ σῷ πανσέπτῳ νῦν οἴκῳ, ἐκ παντοίων λύτρωσαι κινδύνων, νόσου τε παντοίας, Ἀρτέμιε τρισμάκαρ.

Τῶν πειρασμῶν, τῶν πολυειδῶν λύτρωσαί με, σαῖς πρεσβείαις πρὸς τὸν πάντων Δεσπότην, πάντων Ἀθλοφόρων, Ἀρτέμιε ἡ δόξα.

Τῶν νοσημάτων, σὺ ἰατρεῖα ταχεῖα, ἀνεδείχθης Μάρτυς τοῖς ὑμνοῦσι, καὶ ὑπερυψοῦσι, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Τὰς ἀσθενείας μου, τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς οδύνας Παρθένε, ἵνα Σὲ δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ῥοὴν μου τῶν δακρύων, πρόσδεξαι ἐκ πόθου, ἐκπεμπομένην καὶ πάντα τὸν βόρβαρον, τῶν νοσημάτων πλῦνον, Μάρτυς Ἀρτέμιε.

Χαρὰς αἰωνιζούσης, Μάρτυς σὺν Ἀγγέλοις, ἐπιπολαύων νῦν διασκέδασον, τὴν ἀθυμίαν τῶν νόσων ἡμῶν καὶ θλίψεων.

Ὁ ναός σου Μάρτυς, ἰατρεῖον πέλει πνευματικόν, ἐν αὐτῷ γὰρ προσφεύγοντες, τῶν ψυχικῶν ἀλγηδόνων ἀπολυτρούμεθα.

*Θεοτοκίον.*

Λιμὴν καὶ προστασία, τῶν Σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Τὸν ἐν Ἀθλοφόροις θαυματουργόν, καὶ τὸν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθόν, τὸν θεῖον ὁπλίτην, καὶ Μάρτυρα Κυρίου, Ἀρτέμιον τὸν θεῖον, ὕμνοις τιμήσωμεν.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, Ἀρτέμιον πάντες, τῶν Μαρτύρων τὴν καλλονήν, τῶν ὑπὲρ ἁπάντων, πρεσβεύοντα Κυρίῳ, τῶν ἐκτελούντων πίστει, αὐτοῦ τὴν ἄθλησιν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τὸ Τρισάγιον. Τὰ συνήθη τροπάρια. Εἶτα ὁ Ἱερεύς τήν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν Κύριε ἐλέησον. Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα καί χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντων, προστατεύεις Ἀθλητά, τῶν ἀσπαζομένων ἐν πίστει, εἰκόνα θείαν τὴν σήν, καὶ ἐν κατανύξει σε, ἱκετευόντων ἀεί, ἀθλοφόρε Ἀρτέμιε, λιταῖς σου, ταῖς θείαις, παῦσον τὸ κλυδώνιον, τὸ καθ' ἡμῶν καὶ δεινῶν, ῥῦσαι, καὶ πυρὸς τοὺς σοὺς δούλους, καὶ τῆς οὐρανῶν βασιλείας, ἐν μεθέξει ποίησον δεόμεθα.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, είς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.